μικρὰ μέν ἐστι, ῥαιδίως νιν οἴσομες.
ἂν δὴ †φέρηις τι, μέγα δή τι† φέροις·
ἄνοιγ' ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

## 434 (19 B., 36 D.)

1 ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, [852]
ποῦ μοι τὰ καλὰ σέλινα;
2 ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα,
ταδὶ τὰ καλὰ σέλινα.

## 435 (27 B., 43 D.)

ὢ τί πάσχεις; μὴ προδῶις ἄμμ', ἱκετεύω· [853]
πρὶν καὶ μολεῖν κεῖνον, ἀνίστω,
μὴ κακόν ⟨σε⟩ μέγα ποιήσηι
κἀμὲ τὰν δειλάκραν.
ἀμέρα καὶ ἤδη· τὸ φῶς
διὰ τᾶς θυρίδος οὐκ εἰσορῇς;